# Παράκληση εις τον Άγιο Ιωάννη της Κροστάνδης



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.
Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψης τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β′. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ′. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.
Τοῦ Θείου Πνεύματος γενόμενος οἶκος, τῶν Ἱερέων ἀνεδείχθης ἀκρότης, καὶ τοῦ Χριστοῦ ἐκσφράγισμα ἐν βίῳ σου παντί· ὅθεν κατηξίωσαι, Ἰωάννη Κροστάνδης, τοῦ τελεῖν θαυμάσια, τοῖς προστρέχουσι πόθῳ, καὶ ἐξαιτοῦσι τὰς πρὸς τὸν Θεόν, σὰς ἱκεσίας, Ῥωσσίας τὸ καύχημα.

Δόξα. Καὶ νῦν Ὅμοιον Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους· οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις

καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Εἶτα ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς
Ὦ Ἰωάννη, δὸς ἡμῖν τῶν αἰτημάτων λύσιν. Ἀ(θανάσιος).

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Ὡς ἔχων τὴν χάριν τῶν πρεσβειῶν, πολλὴν πρὸς Δεσπότην, καθικέτευε ἐκτενῶς, δοθῆναι ἡμῖν τοῖς σὲ τιμῶσιν, ὦ Ἰωάννη, πταισμάτων τὴν ἄφεσιν.

Ἰάσεις παρέχων παντοδαπάς, τοῖς ὅσοι ἐν πόθῳ, κατασπάζονται εὐλαβῶς, εἰκόνα σου, Πάτερ Ἰωάννη, κἀμοῦ τὰ χρόνια πάθη ἰάτρευσον.

Ὡς Ἄγγελος ζήσας ἐπὶ τῆς γῆς, Χριστὸν μόνον ἔσχες, τὸ ποθούμενον ἀκλινῶς· διὸ τὴν ἀγάπην Τούτου δίδου, ἐν ταῖς καρδίαις τῶν πίστει τιμώντων σε.

Θεοτοκίον.
Ἁγνείαν Σου, Μῆτερ, παρθενικὴν, ζηλώσας ἐνθέως, Ἰωάννης ὁ θαυμαστός, ἁγνότητι βίον διεξῆλθε, συνοδοιπόρος παρθένων γενόμενος.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.
Νοῦν Χριστοῦ κεκτημένος, ἐν τῷ Χριστῷ ἔζησας· ὅθεν καὶ ἡμᾶς τοὺς τιμῶντας, ζωὴν ἁγίαν σου, Πάτερ, ἀξίωσον, ἐν τῷ νοῒ περιφέρειν, τοῦ Κυρίου πάντοτε, μνήμην ζωήῤῥυτον.

Νικητὴς ἀνεδείχθης, τῶν ἡδονῶν σώματος, ἀντιπαραβάλλων σωφρόνως, Χριστοῦ ἡδύτητα, ἥτις προσγίνεται, ἀσκητικοῖς, Πάτερ, τρόποις, ἥν περ δίδου δώρημα, τοῖς σὲ γεραίρουσιν.

Ἡ Ἀγγέλου λαμπρότης, τὴν τοῦ Θεοῦ δέδειχε, Πάτερ, ἀκλινῆ προστασίαν, δι’ ἧς πεπόρευσαι· ὅθεν ἀξίωσον, κἀμὲ θερμαῖς σου πρεσβείαις, ὅπως ἔχω αἴσθησιν, ψυχῆς μου φύλακος.

Θεοτοκίον.
Δωρεᾶς ἠξιώθης, μοναδικῆς, Ἄχραντε, τοῦ Θεοῦ γενέσθαι Μητέρα, Ἁγίῳ Πνεύματι· ὅθεν ἀξίωσον, τοὺς ὑμνητάς Σου φανῆναι, θεοτόκους, Πάναγνε, τῇ

θείᾳ Χάριτι.

Διάσωσον, τοὺς σοὺς ἱκέτας, τρισόλβιε Ἰωάννη, ἀπὸ πάσης ἐπηρείας ἐχθροῦ πολεμήτορος, καὶ ἴασαι, τῶν ψυχῶν καὶ σωμάτων νόσους.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε, Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β´. Πρεσβεία θερμή.
Κροστάνδης ποιμήν, ἐδείχθης ἁγιώτατος, καὶ τύπος Χριστοῦ, ἐν πάσῃ πολιτείᾳ σου, τοὺς πιστοὺς ὁδηγῶν πρὸς ζωὴν τὴν αἰώνιον, σαῖς σοφωτάταις διδαχαῖς, Ἰωάννη τρισόλβιε.

ᾨδὴ δ´. Εἰσακήκοα, Κύριε.
Ὀρθοδόξων τὸ σύστημα, ἐκ τῶν διδαχῶν σου τροφοδοτούμενον, σὲ γεραίρει ὡς διδάσκαλον, Ἰωάννη Πάτερ ἱερώτατε.

Συμπαθείᾳ ἐπίβλεψον, ἐπὶ τοὺς θαυμάζοντας πολιτείαν σου, Ἰωάννη, καὶ ἱκέτευε, τὸν Σωτῆρα δοῦναι ἡμῖν ἄφεσιν.

Ἡ ἀκόρεστος ἔφεσις, δι’ ἧς, Ἰωάννη, Χριστῷ προσήγγιζες, καταφλέξοι τὴν ἀναίσθητον, ἀκηδίαν ἥτις με κατέλαβε.

Θεοτοκίον.
Μὴ παρίδῃς, Πανάμωμε, τῶν Σοὶ προσπιπτόντων θερμῶς αἰτήματα, ἀλλὰ ταῦτα πρὸς τὸν Κύριον, μητρικῇ ἀγάπῃ διαβίβασον.

ᾨδὴ ε´. Φώτισον ἡμᾶς.
Ἴδοιμι κἀγώ, τῇ ψυχῇ μου ἀνατέλλοντα, τὸν τῆς ζωῆς ἄϋλον Ἥλιον, Ὃς τὴν ζωήν σου, Ἰωάννη, κατεφώτισε.

Νήψει συνεχεῖ, Ἰωάννη, πορευόμενος, εἰ καὶ ἐν κόσμῳ διετέλεις σαρκικῶς, ἡμῖν παράσχου, ταύτην δῶρον πολυτίμητον.

Τὸ καινοποιὸν, τοῦ Κυρίου Πνεῦμα χάρισαι, τοῖς προσκυνοῦσι τὴν εἰκόνα σου θερμῶς, ὦ Ἰωάννη, ἵνα σὲ καταγεραίρωμεν.

Θεοτοκίον.
Ὡς καταφυγήν, ἐν ταῖς θλίψεσι γνωρίζοντες, Σέ, Παναγία, ἱκετεύομεν πιστῶς,

κύματα βίου, ταῖς εὐχαῖς σου καταπράϋνον.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.
Νεότητα, τῷ Χριστῷ ὁδήγησον, Ἰωάννη, στοργικῇ σου ἀγάπῃ, καὶ πειρασμῶν, ταύτην φύλαττε, Πάτερ, εἰδὼς καλῶς τῆς ψυχῆς τὸ εὐόλισθον· σαρκὶ γὰρ ζῶν ἔτι πολύν, πρὸς αὐτοὺς τὴν φροντίδα ἐδείκνυες.

Ἀγάπης, τῆς διπλῆς παλάτιον,πρὸς Θεὸν καὶ τὸν πλησίον ὑπάρχων, οἴκους αὐτῆς, καὶ ἡμᾶς ἀναδείξαις, αὐτοαγάπην Χριστὸν ἐξαιτούμενος, Κροστάνδης ἀναμορφωτά, Ἰωάννη, θεόψυχε Ἅγιε.

Ἰάτρευσον, ἀσθενείας, Ἅγιε, τῶν ψυχῶν καὶ τῶν σωμάτων σῶν δούλων, ἔχεις καὶ γάρ, τῶν ἰάσεων χάριν, παρὰ Χριστοῦ ἰατροῦ ἀνθρωπότητος, Ὃς γνοὺς ἀγάπην σῆς ψυχῆς, ἰατρόν σε φιλάνθρωπον ἔδειξε.

Θεοτοκίον.
Τὰ πάθη μου, τὴν ψυχὴν συμπνίγουσι, καὶ σκοτοῦσι ὀπτικὸν διανοίας· διὸ Χριστόν, φῶς τοῦ κόσμου τεκοῦσα, ταῦτα ἀφάνισον δέομαι, Δέσποινα, καὶ στήριξόν με ἐν ὁδῷ, μετανοίας εὐχαῖς παναγίαις Σου.

Διάσωσον, τοὺς σοὺς ἱκέτας, τρισόλβιε Ἰωάννη, ἀπὸ πάσης ἐπηρείας ἐχθροῦ πολεμήτορος, καὶ ἴασαι,τῶν ψυχῶν καὶ σωμάτων νόσους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Ἀπὸ βρέφους ποθήσας τὸν Κύριον, λειτουργὸς τούτου γέγονας ἄριστος, καὶ Ἀγγέλοις, ἁμιλληθεὶς ἁγίᾳ σου ζωῇ, ποιμὴν ὤφθης ἀληθής, πιστοὺς Θεῷ καθοδηγῶν, τοῖς σοφοῖς σου διδάγμασιν· ὅθεν τοὺς σὲ τιμῶντας, καύχημα τῆς Κροστάνδης, υἱοὺς ἀνάδειξον φωτός, Ἰωάννη, πρεσβείαις σου.

Προκείμενον.
Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσσονται.
Στίχ Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ε΄ 14-19).
Εἶπεν ὁ Κύριος· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον,

ἀλλʼ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐντοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται· ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δʼ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Δόξα.
Ταῖς τοῦ Σοῦ Ἁγίου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος. Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Ἰωάννη Ἅγιε, ὡς τοῦ Χριστοῦ ὑπηρέτης, Τοῦτον καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε καὶ αἰτούντων σου, τὴν θερμὴν δέησιν, ὅπως ἰαθῶμεν, ἐκ πληγῶν ψυχῆς καὶ σώματος, καὶ ἐποφθείημεν, οἶκοι τῆς Τριάδος λαμπρότατοι· ζῶντες ἀεὶ ἐν Πνεύματι, ὥσπερ σὺ ὡς Ἄγγελος ἔζησας, καὶ νῦν Ἐκκλησίαν, φωτίζεις ταῖς σοφαῖς σου διδαχαῖς, καθοδηγῶν πρὸς μετάνοιαν, τρυφητὰς τῶν λόγων σου.

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ἡ σοφὴ ποιμανσία, ἐν Κροστάνδῃ ἐδείχθη δῶρον οὐράνιον, δι’ ἧς, Πάτερ, τὰ πλήθη, ὡδήγησας σωφρόνως, πρὸς Κυρίου τὴν μίμησιν, ἥν, Ἰωάννη σεπτέ, παράσχου ὑμνηταῖς σου.

Μιμούμενος τὸν πρᾷον, Ἰησοῦν φιλανθρώπως πᾶσι διέκεισο, καὶ ἐλεημοσύνην, πλουσίως ἐχορήγεις, Ἰωάννη, τοῖς χρήζουσιν· ὅθεν κἀμὲ τὸν πτωχόν, ἐλέησον εὐχαῖς σου.

Ἀγγελικῶς τραπέζῃ, τοῦ Κυρίου παρίστασο πάντοτε, τὸ Σῶμα καὶ τὸ Αἷμα, Αὐτοῦ πιστοῖς παρέχων, Ἰωάννη χριστόψυχε, ὧν κοινωνοῦντας ἡμᾶς, ἀξίωσον

ἐν φόβῳ.

Θεοτοκίον.
Τῆς ψυχῆς μου τὸν φόρτον, ὃν συνήγαγον, Μῆτερ, ταῖς ἁμαρτίαις μου, ἐλάφρυνον καὶ δίδου, ῥανίδας τῶν δακρύων, ὅπως εὕρω εὐΐλατον, τὸν Δικαστὴν Ἰησοῦν, ἐν ὥρᾳ τῇ ἐσχάτῃ.

Ὠδὴ η΄. Τὸν βασιλέα.
Ὡς χριστευχέτης, παντὸς τοῦ κόσμου ὑπάρχων, Ἰωάννη, ἱκέτευε Δεσπότην, ἵνα ἐλεήσῃ, τοὺς σὲ ὑμνολογοῦντας.

Νίκην παράσχου, ἐν πειρασμοῖς, Ἰωάννη, τοῖς κυκλοῦσιν ἡμᾶς ἐν ἀναιδείᾳ, καὶ Χριστοῦ ἀγάπην, ἐμφύτευσον καρδίαις.

Λύπης τὰ νέφη, καὶ ψυχικὰς ἀλλοιώσεις, ἀποδίωκε πόῤῥω, Ἰωάννη, τῶν ὑμνολογούντων, χαρμόσυνόν σου βίον.

Θεοτοκίον.
Ὑπὲρ ἁπάσης, τῆς οἰκουμένης, Παρθένε, τὰς ἁγίας Σου χεῖρας πρὸς Δεσπότην, ἔκτεινον καὶ αἴτει, ἀσάλευτον εἰρήνην.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Σημεῖον ἐχαρίσθης, τῇ Ὀρθοδοξίᾳ, ἐν χρόνοις, Πάτερ, ἐν οἷς μακρυνόμεθα, τῆς τοῦ Κυρίου ἀγάπης ,ᾗ ἡμᾶς στήριξον.

Ἰώμενος μὴ παύσῃ, Πάτερ Ἰωάννη, τὰ τῶν ψυχῶν καὶ σωμάτων τὰ τραύματα· σοὶ γὰρ Θεὸς ἐδεδώκει, χάριν ἰάσεων.

Νῦν ἤγγικεν ἡ ὥρα, τοῦ θανάτου, Πάτερ, ἐν ᾗ Κριτῇ ἀδεκάστῳ στησόμεθα,Ὃν ἐξιλέου εὐχαῖς σου, φιλαδελφότατε.

Θεοτοκίον.
Ἀκήρατε Παρθένε, σὺν τῷ Ἰωάννῃ, τῷ θεοψύχῳ Χριστὸν ἱκετεύσατε, ὅπως μὴ κλείσῃ τὴν θύραν, ἡμῖν τῆς Χάριτος.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια,
Χαίροις τῆς Ῥωσσίας θεῖος βλαστός· χαίροις τῆς Κροστάνδης, θεοπύρσευτος λειτουργός, τῆς Ὀρθοδοξίας, κοινὸν διδασκαλεῖον, ὦ Πάτερ Ἰωάννη, Χριστοῦ εἰκόνισμα.

Τῆς ἱερωσύνης λαμπρὰν στολήν, Πάτερ Ἰωάννη, ἐξωράϊσας θαυμαστῶς, Πνεύματος δυνάμει, ἀναδειχθεὶς Ῥωσσίας, φωστὴρ αὐγάζων πάντας, τῷ θείῳ βίῳ σου.

Τοῦ καλοῦ Ποιμένος καλὸς ποιμήν, μάκαρ Ἰωάννη, γεγονὼς καὶ ἀγγελικῶς, Τούτῳ καθ' ἑκάστην, παρεστηκὼς ἐτρύφας, τῆς ἀκηράτου δόξης, ἧς πάντες τύχοιμεν.

Τοὺς ἀσπαζομένους σου εὐλαβῶς, τὴν σεπτὴν εἰκόνα, πλήρου θείων εὐλογιῶν, καὶ τὴν τοῦ Κυρίου, ὑπάναπτε τὴν φλόγα, ὦ Πάτερ Ἰωάννη, θερμαῖς πρεσβείαις σου.

Ἴασαι συντρίμματα τῶν ψυχῶν, καὶ σωμάτων νόσους, Ἰωάννη θαυματουργέ, ὥσπερ ἐν Κροστάνδῃ, ἐν βίῳ ἐξιᾶσο, τῶν ἀσθενούντων πλήθη, εὐχαῖς ἁγίαις σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῷ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,

ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τα ἑξῆς

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Χαίροις θεῖε θύτα τοῦ Χριστοῦ, Πάτερ Ἰωάννη Κροστάνδης, καὶ Τούτῳ πρέσβευε, δοῦναι τοῖς τιμῶσί σε, πταισμάτων ἄφεσιν, τὴν ὑγείαν τοῖς σώμασι, εἰρήνην καρδίαις, καὶ Ἁγίου Πνεύματος, τῶν χαρισμάτων πληθύν· ὅπως κληρονόμοι ὀφθῶμεν, θείας Βασιλείας Κυρίου, σὺν χοροῖς Ἁγίων ἅπασι.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

Στίχοι.
Ἰωάννη, πρέσβευε τῷ Φιλανθρώπῳ,

Σῶσαί με ἐκ στόματος τοῦ μισανθρώπου.